Universitätsbibliothek Paderborn

Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Apanta Ta Ellēnisti Heuriskomena

Origenes

Rothomagi, 1668

In Praefatione.

urn:nbn:de:hbz:466:1-19358

Visual Library

ΕΚ ΤΟΥ

* κ. τὸ Πέμπτου τόμου τῶν εἰς* τὸν κτ̄ ἰωάννην.

Εἰς τὸ προοίμιον.

E QVINTO TOMO

In Iohannis Euangelium.

In Præfatione.

Eodem interprete.

ΕΠεὶ μὴ ἀρκούμενος τὸ παρὸν ἀπειληφέναι A πρὸς ἡμᾶς ἔργον τὸ τοῦ θεοῦ ἐργοδιώκτῃ, καὶ ἀπόντας τὰ πολλά σοι σχολάζειν καὶ τῷ πρὸς σὲ καθήκοντι ἀξιοῖς, ἐγὼ ἐκκλίνων τὸν κάματον, καὶ περιϊστάμενος τὸν παρὰ θεοῦ τῶν ἐπὶ τὸ γράφειν εἰς τὰ θεῖα ἑαυτοὺς ἐπιδεδωκότων κίνδυνον, συναγορεύσαιμι ἂν ἐμαυτῷ ὑπὸ τῆς γραφῆς παραιτούμενος τὰ πολλὰ ποιεῖν βιβλία. φησὶ γὰρ ἐν τῷ ἐκκλησιαστῇ σολομών. υἱέ μου φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά. οὐκ ἔστι περασμὸς, καὶ μελέτη πολλὴ κόπωσις σαρκός. B ἡμεῖς γὰρ εἰ μὴ ἔχει νοῦν τινα κεκρυμμένον καὶ ἔτι ἡμῖν ἀσαφῆ ἡ λέξις ἡ προκειμένη αὕτη πως, παραβεβήκαμεν τὴν ἐντολὴν, μὴ φυλαξάμενοι ποιῆσαι βιβλία πολλά;

QVoniam non contentus id abſentis mei cauſa tibi operis ſumpſiſſe, ut mihi ſecundum Deum monitor eſſes & laboris exactor, poſtulas etiam ut pro meo in te officio, multa elaborem: ego laborem fugiens & eo periculo circumſeſſus quod à Deo impendet iis, qui ad ſcribendum in divinas literas ſeſe contulerunt, Scripturæ patrocinio tueri me poſſim multos libros ſcribere recuſans. Sic enim in Eccleſiaſte Solomon: *Fili mi, cave ut multos libros conſcribas: non eſt finis, & multa meditatio carnis defatigatio eſt.* Eccl. 12.12 Nos enim, niſi ſenſum abſtruſum, & nobis adhuc obſcurum propoſita illa Solomonis habet ſententia, præceptum id penitus perfregimus, qui non cavimus ne multos libros conficeremus.

Εἶτα εἰπὼν ὡς εἰς ὀλίγα τοῦ εὐαγγελίου ῥητὰ τέσσαρες αὐτῷ ἀνύσθησαν τόμοι, ἐπιφέρει.

Deinde poſtquam dixit [Origenes] ſe volumina quatuor in pauca Euangelii verba abſoluiſſe, adjungit.

Ὅσον γὰρ ἐπὶ τῇ λέξει δύο σημαίνεται ἐκ τοῦ· υἱέ μου φύλαξαι τοῦ ποιῆσαι βιβλία πολλά, ἓν C μὲν ὅτι οὐ δεῖ κεκτῆσθαι βιβλία πολλά, ἕτερον δὲ ὅτι οὐ δεῖ συντάξαι βιβλία πολλά, καὶ εἰ μὴ τὸ πρῶτον, πάντως τὸ δεύτερον. εἰ δὲ τὸ δεύτερον, οὐ πάντως τὸ πρῶτον. πλὴν ἑκατέρωθεν * ἐδόξαμεν μανθάνειν μὴ δεῖν ποιεῖν βιβλία πλείονα. ἠδυνάμην δὲ πρὸς τὸ νῦν ἡμῖν ὑποπεπτωκὸς ἱστάμενος, ἐπιστεῖλαί σοι ὡς ἀπολογίαν τὸ ῥητόν· καὶ κατασκευάσας τὸ πρᾶγμα, ἐκ τοῦ μηδὲ τοὺς ἁγίους πολλῶν βιβλίων συντάξεσιν ἐσχολακέναι, παύσασθαι πρὸς τὸ D ἑξῆς τοῦ κατὰ τὰς συνθήκας ἃς ἐποιησάμεθα πρὸς ἀλλήλους ὑπαγορεύειν τὰ διαπεμφθησόμενά σοι. καὶ τάχα σὺ πληγεὶς ὑπὸ τῆς λέξεως πρὸς τὸ ἑξῆς ἂν ἡμῖν συνεχώρησας. ἀλλ' ἐπεὶ * τὴν γραφὴν εὐσυνειδότως δεῖ ἐξετάζειν, μὴ προπετῶς ἑαυτὸν καταχαρίζόμενον τὸ νενοηκέναι, ἐκ τοῦ ψιλὴν τὴν λέξιν εἰληφέναι, οὐχ ὑπομένω, μὴ τὴν φαινομένην μοι ὑπὲρ ἐμαυτοῦ ἀπολογίαν, ἣ γρά-

* κ. δεί-ξομεν

* κ. τῶν γραφῶν

Quantum enim ex ipſa dictione conjicere licet, duo ſignificantur his verbis: *Fili mi, cave multos libros conficias:* primum quidem, non eſſe habendos multos libros, alterum, non eſſe multos componendos: & niſi primum, plane ſecundum; ſi verò ſecundum, non primum omnino, præterquam quod utrinque doceri videmur non eſſe complures libros conficiendos. Poteram autem ad id quod nobis ſub aciem ſermonis venit, adhæreſcens, ad te Scripturæ dictum excuſationis loco mittere, & confirmata re ex eo quod neque ſancti multorum librorum compoſitioni ſtuduerint, deſinere deinceps ſubjungere commentarios juxta fœdus inter nos initum ad te tranſmittendos; & tu fortaſſe illo dicto Scripturæ commotus id mihi in poſterum conceſſiſſes: ſed quoniam Scripturæ cum recta mente & conſcientia excutiendæ ſunt, nec temere gaudendum quaſi eas intelligas ex eo quod nudam dictionem perceperis, rem non prolato, nec, quæ mihi videtur ſuffragari, defenſionem af-